# Storia della Lingua Greca – Laurea Magistrale – 6.10.2021

## Eur. *Supp.* 399-455

ΚΗ. τίς γῆς τύραννος; πρὸς τίν’ ἀγγεῖλαί με χρὴ
λόγους Κρέοντος, ὃς κρατεῖ Κάδμου χθονὸς
Ἐτεοκλέους θανόντος ἀμφ’ ἑπταστόμους
πύλας ἀδελφῆι χειρὶ Πολυνείκους ὕπο;
ΘΗ. πρῶτον μὲν ἤρξω τοῦ λόγου ψευδῶς, ξένε,
ζητῶν τύραννον ἐνθάδ’· οὐ γὰρ ἄρχεται
ἑνὸς πρὸς ἀνδρὸς ἀλλ’ ἐλευθέρα πόλις.
δῆμος δ’ ἀνάσσει διαδοχαῖσιν ἐν μέρει
ἐνιαυσίαισιν, οὐχὶ τῶι πλούτωι διδοὺς
τὸ πλεῖστον ἀλλὰ χὠ πένης ἔχων ἴσον.
ΚΗ. ἓν μὲν τόδ’ ἡμῖν ὥσπερ ἐν πεσσοῖς δίδως
κρεῖσσον· πόλις γὰρ ἧς ἐγὼ πάρειμ’ ἄπο
ἑνὸς πρὸς ἀνδρὸς οὐκ ὄχλωι κρατύνεται·
οὐδ’ ἔστιν αὐτὴν ὅστις ἐκχαυνῶν λόγοις
πρὸς κέρδος ἴδιον ἄλλοτ’ ἄλλοσε στρέφει,
τὸ δ’ αὐτίχ’ ἡδὺς καὶ διδοὺς πολλὴν χάριν
ἐσαῦθις ἔβλαψ’, εἶτα διαβολαῖς νέαις
κλέψας τὰ πρόσθε σφάλματ’ ἐξέδυ δίκης.
ἄλλως τε πῶς ἂν μὴ διορθεύων λόγους
ὀρθῶς δύναιτ’ ἂν δῆμος εὐθύνειν πόλιν;
ὁ γὰρ χρόνος μάθησιν ἀντὶ τοῦ τάχους
κρείσσω δίδωσι. γαπόνος δ’ ἀνὴρ πένης,
εἰ καὶ γένοιτο μὴ ἀμαθής, ἔργων ὕπο
οὐκ ἂν δύναιτο πρὸς τὰ κοίν’ ἀποβλέπειν.
ἦ δὴ νοσῶδες τοῦτο τοῖς ἀμείνοσιν,
ὅταν πονηρὸς ἀξίωμ’ ἀνὴρ ἔχηι
γλώσσηι κατασχὼν δῆμον, οὐδὲν ὢν τὸ πρίν.
ΘΗ. κομψός γ’ ὁ κῆρυξ καὶ παρεργάτης λόγων.
ἐπεὶ δ’ ἀγῶνα καὶ σὺ τόνδ’ ἠγωνίσω,
ἄκου’· ἅμιλλαν γὰρ σὺ προύθηκας λόγων.
οὐδὲν τυράννου δυσμενέστερον πόλει,
ὅπου τὸ μὲν πρώτιστον οὐκ εἰσὶν νόμοι
κοινοί, κρατεῖ δ’ εἷς τὸν νόμον κεκτημένος
αὐτὸς παρ’ αὑτῶι· καὶ τόδ’ οὐκέτ’ ἔστ’ ἴσον.
γεγραμμένων δὲ τῶν νόμων ὅ τ’ ἀσθενὴς
ὁ πλούσιός τε τὴν δίκην ἴσην ἔχει,
ἔστιν δ’ ἐνισπεῖν τοῖσιν ἀσθενεστέροις
τὸν εὐτυχοῦντα ταὔθ’ ὅταν κλύηι κακῶς,
νικᾶι δ’ ὁ μείων τὸν μέγαν δίκαι’ ἔχων.
τοὐλεύθερον δ’ ἐκεῖνο· τίς θέλει πόλει
χρηστόν τι βούλευμ’ ἐς μέσον φέρειν ἔχων;
καὶ ταῦθ’ ὁ χρῄζων λαμπρός ἐσθ’, ὁ μὴ θέλων
σιγᾶι. τί τούτων ἔστ’ ἰσαίτερον πόλει;
καὶ μὴν ὅπου γε δῆμος εὐθυντὴς χθονὸς
ὑποῦσιν ἀστοῖς ἥδεται νεανίαις·

ἀνὴρ δὲ βασιλεὺς ἐχθρὸν ἡγεῖται τόδε,
καὶ τοὺς ἀρίστους οὕς <τ’> ἂν ἡγῆται φρονεῖν
κτείνει, δεδοικὼς τῆς τυραννίδος πέρι.
πῶς οὖν ἔτ’ ἂν γένοιτ’ ἂν ἰσχυρὰ πόλις
ὅταν τις ὡς λειμῶνος ἠρινοῦ στάχυν
τομαῖς ἀφαιρῆι κἀπολωτίζηι νέους;
κτᾶσθαι δὲ πλοῦτον καὶ βίον τί δεῖ τέκνοις
ὡς τῶι τυράννωι πλείον’ ἐκμοχθῆι βίον;
ἢ παρθενεύειν παῖδας ἐν δόμοις καλῶς,
τερπνὰς τυράννοις ἡδονὰς ὅταν θέληι,
δάκρυα δ’ ἑτοιμάζουσι; μὴ ζώιην ἔτι
εἰ τἀμὰ τέκνα πρὸς βίαν νυμφεύσεται.